# Kleostratos

Fragmenta DK 6 B

**B 1** = Scholia in Euripidem, Rhesus 528

Diels-Kranz:
ὁ μὲν οὖν Παρμενίσκος ʾπρῶτα σημεῖαʾ φησὶ λέγεσθαι τὰς τοῦ σκορπίου πρώτας μοίρας διὰ τὸ ὑπὸ τῶν ἀρχαίων οὕτως αὐτὰς λέγεσθαι, διότι ταύταις ὁ Βοώτης ἅμα ἄρχεται καταδύεσθαι. Κλεόστρατον γοῦν τὸν Τενέδιον ἀρχαῖον [ὄντα ἀστρολόγον εἰπεῖν] οὕτως·

ἀλλʾ ὁπόταν τρίτον ἦμαρ ἐπʾ ὀγδώκοντα μένησι
[ʾΑρκτοφύλαξ φαίνων, τότε δὴ σημήϊα πρῶτα]
σκορπίου εἰς ἅλα πίπτει ἅμʾ ἠοῖ φαινομένηφι.

Scholia in Euripidem (scholia vetera), ed. E. Schwartz:
ὁ μὲν οὖν Παρμενίσκος ʾπρῶτα σημεῖαʾ φησὶ... Κλεόστρατον ... [..., γράφειν] οὕτως·

ἀλλʾ ὁπόταν τρίτον ἦμαρ ἐπʾ ὀγδώκοντα πέλησι
σκορπίου, εἰς ἅλα πίπτει ἅμʾ ἠοῖ φαινομένηφι.

τοῦτο δὲ παραδείξας ὁ Παρμενίσκος ὅτι καταδύεται τὰ πρῶτα σημεῖα τοῦ σκορπίου, καὶ τὰ περὶ τῆς Πλειάδων ἐπιτολῆς ἐπέξεισιν· ʾὅταν γὰρʾ, φησὶν, ʾΕὐριπίδης λέγῃ καὶ ἑπτάποροι Πλειάδες αἰθέριαι, οὐ [λέγει] δύεσθαι τότε αὐτὰς, ἀλλʾ ἔμπαλιν ἀνατέλλειν ἐκ τοῦ ὑπὸ [γῆν] τμήματος εἰς τὸ ὑπὲρ [τὸν] ὁρίζοντα ἀνιούσας· καὶ τοῦτο εἶναι τὸ καὶ ἑπτάποροι Πλειάδες [αἰθέριαι], οἷον· εἰς τὸν ὡς πρὸς ἡμᾶς οὐρανὸν ἀφικνούμεναι. ταῦτα δὲ καταστησαμένων ὁμολογεῖ, φησὶ, τοῖς Εὐριπίδου τὰ φαινόμενα (?) τὰ μὲν πρῶτα σημεῖα [τῆς ὥρας] εἰς δύσιν κεχώρηκεν, ἡ δὲ Πλειὰς ἀνατέλλει, ὁ δὲ ἀετὸς πρὸς τὸ μέσον κεχώρηκε. λοιπὸν οὖν τῆς φυλακῆς ὁ καιρός· ἔγρεσθε, τί μέλλετε. ἑπτάπορον δὲ τὴν Πλειάδα, ὅτι ἐξ ἑπτὰ ἀστέρων σύγκεινται αἱ Πλειάδες. ἀετὸς δὲ ὁ τὸ ἧπαρ τοῦ Προμηθέως, ὥς φασί τινες·

Cfr. Cleostratus, *Astrologia* (fragmentum), ed. A. Bernabé, Poetarum epicorum Graecorum testimonia et fragmenta, Leipzig, Teubner 1987:
ΑΣΤΡΟΛΟΓΙΑ

ἀλλʾ ὁπόταν τρίτον ἦμαρ ἐπʾ ὀγδώκοντα μένησι
σκορπίος, εἰς ἅλα πίπτει ἅμʾ ἠοῖ φαινομένηφι.

Cfr. Eurípidés, Rhesus 527-537:

τίνος ἁ φυλακά; τίς ἀμείβει τὰν ἐμάν; πρῶτα
δύεται σημεῖα καὶ ἑπτάποροι
Πλειάδες αἰθέριαι·
μέσα δ᾽ αἰετὸς οὐρανοῦ ποτᾶται.
ἔγρεσθε· τί μέλλετε; κοιτᾶν
ἔξιτε πρὸς φυλακάν.
οὐ λεύσσετε μηνάδος αἴγλαν;
ἀὼς δὴ πέλας ἀὼς
γίγνεται καί τις προδρόμων ὅδε γ᾽ ἐστὶν ἀστήρ.

**B 2** = Plinius, Historia naturalis II, 31 (cfr. Anaximandros A 5)
signa deinde [traditur intellexisse] in eo Cleostratus, et prima arietis ac sagittarii.

**B 3** = Hyginus, Astronomia II, 13
haedos Cleostratus Tenedius dicitur primus inter sidera ostendisse.
(Cfr. Epimenides B 21 = Aratos, Phaenomena 163-164; Vergilius, Ecloga IX, 6)

**B 4** = Censorinus 18, 5
hanc octaeteridam vulgo creditum est ab Eudoxo Cnidio institutam, sed hanc Cleostratum Tenedium primum ferunt composuisse et postea alios aliter qui mensibus varie intercalandis suas octaeteridas protulerunt, ut fecit Harpalus, Nauteles, Menestratus, item alii.